κα. τοσαῦται ἄρα τῶν πέντε γίνονται αἱ πρὸς ἄλληλα σχέσεις. ἡ δ' αἰτία δι' ἣν τὸν τρόπον τοῦτον ποιούμεθα, ἔστιν αὕτη. διὰ τὸ ἕκαστον τῶν πέντε, πρὸς τὰ λοιπὰ τέσσαρα παραβάλλειν. διὰ τοῦτο οὖν πεντάκις ποιούμεθα τὰ τέσσαρα, καὶ γίνονται σχέσεις εἴκοσιν. ἐπειδὴ δὲ συμβαίνει δὶς τὰς αὐτὰς σχέσεις περιλαμβάνειν, διὰ τοῦτο ποιούμεθα τὸ ἥμισυ. παραβάλλοντες γὰρ τὸ γένος πρὸς τὰ λοιπὰ τέσσαρα, δῆλον ὅτι καὶ πρὸς τὴν διαφορὰν αὐτὰ παραβάλλομεν. ἐὰν οὖν τὴν διαφορὰν πρὸς τὰ λοιπὰ τέσσαρα παραβάλλωμεν, συμβαίνει δὶς ἡμᾶς τὸ γένος πρὸς τὴν διαφορὰν παραλαμβάνειν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν λοιπῶν. ἔστι δὲ καὶ ἄλλος κανὼν, καθ' ὃν μανθάνομεν πόσαι σχέσεις γίνονται τῶν προτεθέντων ὅρων. ἐὰν γὰρ ὦσί τινες ὅροι, καὶ προστεθῶσιν ἕτεροι, καθ' ἕκαστον ὅρον τοσαῦται προστίθενται σχέσεις, ὅσοι ἦσαν οἱ προκείμενοι ὅροι πάντες. τούτου οὖν πρώτου, σχέσις οὐκ ἔστιν. ἐὰν δὲ προστεθῇ ἕτερος ὅρος, γίνεται μία σχέσις, ἐπειδὴ εἷς ὅρος ἦν ὁ προκείμενος. πάλιν κἂν ἕτερος προστεθῇ, δύο προστίθενται σχέσεις, ὅσοι ἦσαν οἱ προκείμενοι ὅροι. γίνονται οὖν αἱ πᾶσαι τρεῖς σχέσεις. ἐὰν δὲ ἕτερος ὅρος προστεθῇ, τρεῖς προστίθενται σχέσεις. καὶ γίνονται αἱ πᾶσαι σχέσεις ἕξ. ἐὰν δὲ ἄλλος ὅρος προστεθῇ, τέσσαρες προστίθενται σχέσεις. ὥστε γίνεσθαι τῶν πέντε ὅρων τὰς πάσας σχέσεις, δέκα. καὶ ἄλλως δέ. ἕκαστον τῶν πέντε, πρὸς τὰς λοιπὰς τέσσαρας παραβάλλειν δεῖ. τὸ γένος οὖν πρὸς τὰς λοιπὰς τέσσαρας παραβαλλόμενον, ποιεῖ σχέσεις τέσσαρας. ἡ δὲ διαφορὰ, πρὸς μὲν τὸ γένος ἤδη παραβέβληται, ὅτε τὸ γένος παρεβάλλετο πρὸς αὐτήν. ταὐτὸν γάρ ἐστι. πρὸς δὲ τὰ λοιπὰ τρία παραβαλλομένη, ποιεῖ σχέσεις τρεῖς. ὥστε γίνεσθαι ἑπτά. πάλιν τὸ εἶδος πρὸς τὸ γένος καὶ τὴν διαφορὰν ἤδη παραβέβληται ἡνίκα κἀκεῖνα πρὸς τοῦτο. πρὸς δὲ τὰ λοιπὰ δύο παραβαλλόμενον, ποιεῖ σχέσεις δύο. ὥστε γίνεσθαι σχέσεις ἐννέα. πάλιν τὸ ἴδιον πρὸς μὲν τὸ γένος καὶ τὴν διαφορὰν καὶ τὸ εἶδος ἤδη παραβέβληται ἡνίκα κἀκεῖνο πρὸς αὐτό. πρὸς δὲ τὸ συμβεβηκὸς παραβαλλόμενον, ποιεῖ μίαν σχέσιν. ὥστε τὰς πάσας γίνεσθαι δέκα. τὸ δὲ συμβεβηκὸς, οὐδενὶ ἔτι παραβάλλεσθαι. ἤδη γὰρ πρὸς πάντα παραβέβληται, ὅτ' ἐκεῖνα πρὸς αὐτὸ παρεβάλλετο. δῆλον οὖν, ὅτι πᾶσαι αἱ σχέσεις γίνονται τέσσαρες. τρεῖς. δύο. μία. τοῦ μὲν γένους, τέσσαρες. τῆς δὲ διαφορᾶς, τρεῖς. τοῦ δὲ εἴδους, δύο. τοῦ δὲ ἰδίου, μία. ὥστε αἱ πᾶσαι, γίνονται δέκα. καὶ τὸ ἴδιον οὐκέτι παραβέβληται πρὸς τὸ γένος. ἤδη γὰρ παραβέβληται, ὅτε τὸ γένος πρὸς αὐτό. λοιπὸν δὲ, τί διαφέρει τοῦ εἴδους. ἡ αὐτὴ γὰρ ἐστὶ σχέσις τοῦ γένους πρὸς τὴν διαφορὰν, καὶ τῆς διαφορᾶς πρὸς τὸ γένος. τῆς τε διαφορᾶς καὶ κοινωνίας αὐτῶν, οὐκέτι τὸ γένος παραβάλλει. ἀλλὰ τὰ πρὸς μετ' αὐτά.

## ΠΕΡΙ ΚΟΙΝΩΝΙΑΣ ΕΙΔΟΥΣ ΚΑΙ ΔΙΑΦΟΡΑΣ.

Κοινὸν τοίνυν διαφορᾶς καὶ εἴδους. μέτεισιν ἐπὶ τὰ κοινὰ καὶ ἴδια διαφορᾶς καὶ εἴδους, καὶ τῶν λοιπῶν. καὶ ἐπ' αὐτοῖς καταπαύσει τὸν λόγον. κοινότητας οὖν διαφορᾶς καὶ εἴδους, φάσκει δύο. ἑτερότητας δὲ, πλείους. καὶ πρῶτον φησὶν ἴδιον διαφορᾶς, τὸ ἐν τῷ ὁποῖόν τι ἐστὶ κατηγορεῖσθαι. εἴδους δὲ, τῷ τί ἐστι. καὶ ὅπερ ἄν τις ἠπόρησεν, αὐτὸς φθάσας ἐπιλύει.

φησὶ γάρ· διαφέρει τὸ μὲν εἶδος ἐν τῷ τί ἐστι κατηγορεῖται, ἡ δὲ διαφορὰ, ἐν τῷ ὁποῖόν τί ἐστι. καίτοι καὶ ὁ ἄνθρωπος, ποιόν τι ζῶον λέγεται. φαμὲν γὰρ τί ἐστι σωκράτης, ζῶον. ὁποῖον ζῶον, ἄνθρωπος. ὥστε καὶ τὸ εἶδος ἐν τῷ ὁποῖόν τί ἐστι κατηγορεῖται. φησὶ τοίνυν ὅτι τὸ εἶδος, ποιόν ἐστιν οὐχ ἁπλῶς, ἀλλὰ καθὸ μετέχει τῶν διαφορῶν. τὸ μὲν γὰρ ἐν τῷ τί ἐστι κατηγορεῖσθαι, ἔχει τὰ εἴδη ἐκ τῶν γενῶν. τὸ δὲ ἐν τῷ ὁποῖόν τί ἐστιν, ἐκ τῶν διαφορῶν. ποιὸν γὰρ ζῶον ἄνθρωπον θέντες, λέγομεν λογικὸν θνητόν. ὥστε καθ' αὑτὰς μὲν αἱ διαφοραὶ, τὸ ποιὸν ἔχουσι. τὰ δὲ εἴδη, κέκτηνται τοῦτο ἐκ τῶν διαφορῶν. ἔτι διαφορὰ μὲν συντίθεται μεθ' ἑτέρας διαφορᾶς. Ἄλλην ἑτερότητα δείκνυσι διαφορᾶς καὶ εἴδους. ὅτι ἡ μὲν διαφορὰ, δύναται συντεθῆναι μεθ' ἑτέρας εἰς ὑπόστασιν τινός. οἷον, συνετέθη τὸ λογικὸν καὶ τὸ θνητὸν εἰς ἀνθρώπου ὑπόστασιν. ὁ δὲ καθόλου ἄνθρωπος συντεθεὶς μὲν αὐτοῦ τῷ καθόλου ἵππου, οὐδὲν ἀποτελεῖ. τὸ δὲ καθόλου λογικὸν συντεθὲν τῷ καθόλου θνητῷ, ποιεῖ τὸν ἄνθρωπον. εἰ δ' ὁ ἡμίονος ἐξ ἵππου καὶ ὄνου γέγονεν, οὐκέτι ἐκ τοῦ καθόλου, ἀλλ' ἐκ τῶν μερικῶν. ὁ γὰρ ἵππος προσελθὼν τῷ ὄνῳ, ποιεῖ ἡμίονον. οὐχ ὁ καθόλου, ἀλλ' ὁ τὶς ἵππος τῷ τινὶ ἡμιόνῳ. καὶ ἄλλως. αἱ μὲν διαφοραὶ συνιοῦσαι εἰς ἑνὸς εἴδους γένεσιν, οὐδὲν ὑπ' ἀλλήλων πάσχουσαι, ἑκάστη τὴν ἑαυτῆς οὐσίαν φυλάττει. οἷον, συνῆλθον εἰς ἑνὸς εἴδους γένεσιν τοῦ ἀνθρώπου, τὸ λογικὸν καὶ τὸ θνητὸν, καὶ τὸ νοῦ καὶ ἐπιστήμης δεκτικόν. καὶ οὐκ ἐκρίφθησαν ὑπό τινος τούτων. ἵππος δὲ καὶ ὄνος συνελθόντες καὶ ἀποτελέσαντες ἡμίονον, διὰ τὸ μὴ εἶναι εἴδη ἀλλὰ ἄτομα, οὐ δὲ τὴν ἑαυτῶν εἰλικρινῶς φύσιν ἐφύλαξαν ἐν τῷ ἡμιόνῳ. ἄλλο γάρ τι ἀμφοτέρων τῆς ἑκάστου οὐσίας φθαρείσης γέγονεν. ὥστε τὸ εἶδος εἴδει οὐ συνέρχεται.

## ΠΕΡΙ ΚΟΙΝΩΝΙΑΣ ΚΑΙ ΔΙΑΦΟΡΑΣ, ΔΙΑΦΟΡΑΣ ΚΑΙ ΙΔΙΟΥ.

Διαφορὰ μὲν καὶ ἴδιον, κοινὸν μὲν ἔχουσι τὸ ἐπίσης μετέχεσθαι ὑπὸ τῶν μετεχόντων. Δύο κοινότητας λέγει διαφορᾶς καὶ ἰδίου. τό, τε ἐπίσης μετέχεσθαι, καὶ τὸ ἀεὶ ὑπάρχειν οἷς ὑπάρχουσιν. οὔτε γὰρ ὁ σωκράτης μᾶλλον πλάτωνος λογικόν, οὔτε μᾶλλον γελαστικόν. εἰ δὲ καὶ λογικώτερον ἄλλον ἄλλου λέγομεν μᾶλλον καὶ ἧττον, ἀλλ' ἕτερόν τι σημαίνομεν, διὰ τοῦ λογικοῦ καὶ τοῦ λογικωτέρου ἐν τούτοις. οὐ δὲ γὰρ τὴν λογικὴν οὐσίαν ζητοῦμεν ἐν τούτοις, ἀλλὰ τὴν ἐν τοῖς μαθήμασι λογικὴν ἕξιν, ἤ τις ἐπιτηδειότης ἐστὶ ψυχῆς. ἀεὶ δέ ἐστιν ὁ ἄνθρωπος λογικός, καὶ ἀεὶ γελαστικός. ἀεὶ δὲ οὐ κατὰ τὸ γελᾶν, ἀλλὰ κατὰ τὸ πεφυκέναι. λέγει δὲ καὶ ἑτερότητας δύο. ἡ μὲν γὰρ διαφορὰ, πλείονα εἴδη περιέχει. τὸ δὲ ἴδιον, ἑνὶ μόνῳ εἴδει πρόσεστι. καὶ ὅτι ἡ μὲν διαφορὰ εἰ καὶ ἕπεται τοῖς εἴδεσιν, ἀλλ' οὐκ ἀντικατηγορεῖται. εἴ τι γὰρ ἄνθρωπος, λογικόν. οὐ μὴν καὶ εἴ τι λογικόν, ἄνθρωπος. τὸ δὲ ἴδιον, καὶ ἕπεται καὶ ἀντικατηγορεῖται. εἴ τι γὰρ ἄνθρωπος, γελαστικόν. καὶ εἴ τι γελαστικόν, ἄνθρωπος.